26 συναγωγῆς [26]καὶ ἔκδυσον Ααρων τὴν στολὴν αὐτοῦ καὶ ἔνδυσον
Ελεαζαρ τὸν υἱὸν αὐτοῦ, καὶ Ααρων προστεθεὶς ἀποθανέτω ἐκεῖ.
27 [27]καὶ ἐποίησεν Μωυσῆς καθὰ συνέταξεν κύριος, καὶ ἀνεβίβασεν
28 αὐτὸν εἰς Ωρ τὸ ὄρος ἐναντίον πάσης τῆς συναγωγῆς. [28]καὶ ἐξέ-
δυσεν Ααρων τὰ ἱμάτια αὐτοῦ καὶ ἐνέδυσεν αὐτὰ Ελεαζαρ τὸν
υἱὸν αὐτοῦ· καὶ ἀπέθανεν Ααρων ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, καὶ
29 κατέβη Μωυσῆς καὶ Ελεαζαρ ἐκ τοῦ ὄρους. [29]καὶ εἶδεν πᾶσα ἡ
συναγωγὴ ὅτι ἀπελύθη Ααρων, καὶ ἔκλαυσαν τὸν Ααρων τριάκοντα
ἡμέρας πᾶς οἶκος Ισραηλ.
21 [1]Καὶ ἤκουσεν ὁ Χανανις βασιλεὺς Αραδ ὁ κατοικῶν κατὰ τὴν
ἔρημον — ἦλθεν γὰρ Ισραηλ ὁδὸν Αθαριν — καὶ ἐπολέμησεν
2 πρὸς Ισραηλ καὶ κατεπρονόμευσαν ἐξ αὐτῶν αἰχμαλωσίαν. [2]καὶ
ηὔξατο Ισραηλ εὐχὴν κυρίῳ καὶ εἶπεν Ἐάν μοι παραδῷς τὸν λαὸν
3 τοῦτον ὑποχείριον, ἀναθεματιῶ αὐτὸν καὶ τὰς πόλεις αὐτοῦ. [3]καὶ
εἰσήκουσεν κύριος τῆς φωνῆς Ισραηλ καὶ παρέδωκεν τὸν Χανανιν
ὑποχείριον αὐτοῦ, καὶ ἀνεθεμάτισεν αὐτὸν καὶ τὰς πόλεις αὐτοῦ·
καὶ ἐπεκάλεσαν τὸ ὄνομα τοῦ τόπου ἐκείνου Ἀνάθεμα.
4 [4]Καὶ ἀπάραντες ἐξ Ωρ τοῦ ὄρους ὁδὸν ἐπὶ θάλασσαν ἐρυθρὰν
περιεκύκλωσαν γῆν Εδωμ· καὶ ὠλιγοψύχησεν ὁ λαὸς ἐν τῇ ὁδῷ.
5 [5]καὶ κατελάλει ὁ λαὸς πρὸς τὸν θεὸν καὶ κατὰ Μωυσῆ λέγοντες
Ἵνα τί ἐξήγαγες ἡμᾶς ἐξ Αἰγύπτου ἀποκτεῖναι ἡμᾶς ἐν τῇ ἐρήμῳ; ὅτι
οὐκ ἔστιν ἄρτος οὐδὲ ὕδωρ, ἡ δὲ ψυχὴ ἡμῶν προσώχθισεν ἐν
6 τῷ ἄρτῳ τῷ διακένῳ. [6]καὶ ἀπέστειλεν κύριος εἰς τὸν λαὸν τοὺς
ὄφεις τοὺς θανατοῦντας, καὶ ἔδακνον τὸν λαόν, καὶ ἀπέθανεν λαὸς
7 πολὺς τῶν υἱῶν Ισραηλ. [7]καὶ παραγενόμενος ὁ λαὸς πρὸς Μωυ-
σῆν ἔλεγον ὅτι Ἡμάρτομεν ὅτι κατελαλήσαμεν κατὰ τοῦ κυρίου
καὶ κατὰ σοῦ· εὖξαι οὖν πρὸς κύριον, καὶ ἀφελέτω ἀφ᾽ ἡμῶν τὸν
8 ὄφιν. καὶ ηὔξατο Μωυσῆς πρὸς κύριον περὶ τοῦ λαοῦ. [8]καὶ εἶπεν
κύριος πρὸς Μωυσῆν Ποίησον σεαυτῷ ὄφιν καὶ θὲς αὐτὸν ἐπὶ
σημείου, καὶ ἔσται ἐὰν δάκῃ ὄφις ἄνθρωπον, πᾶς ὁ δεδηγμένος
9 ἰδὼν αὐτὸν ζήσεται. [9]καὶ ἐποίησεν Μωυσῆς ὄφιν χαλκοῦν καὶ
ἔστησεν αὐτὸν ἐπὶ σημείου, καὶ ἐγένετο ὅταν ἔδακνεν ὄφις ἄνθρω-
πον, καὶ ἐπέβλεψεν ἐπὶ τὸν ὄφιν τὸν χαλκοῦν καὶ ἔζη.
10 11 [10]Καὶ ἀπῆραν οἱ υἱοὶ Ισραηλ καὶ παρενέβαλον ἐν Ωβωθ. [11]καὶ
ἐξάραντες ἐξ Ωβωθ παρενέβαλον ἐν Αχελγαι ἐκ τοῦ πέραν ἐν τῇ
12 ἐρήμῳ, ἥ ἐστιν κατὰ πρόσωπον Μωαβ κατὰ ἀνατολὰς ἡλίου. [12]ἐκεῖθεν

27 κυριος] + αυτω A, pr. αυτω $B^c$ | αυτον] -τους A || 28 ααρων $1^0$] pr. τον A | αυτα > B*† | επι] pr. εκει A (in *O* sub ※)

21 1 χαναναιος A | ηλθεν γαρ] οτι ηλθεν A | αθαρειμ A || 3 χανανι A | αυτου $1^0$] -τω A | επεκαλεσεν A || 4 γην] pr. την A || 5 τι] + τουτο B† | εξηγαγετε A | ημας $2^0$ > B | fin.] + τουτω A || 7 ημαρτηκαμεν A || 9 εδακεν A || 10 ⌒ 11 παρενεβαλον B*† ($B^s$ add. και ante 11 παρενεβ.) || 11 αχελγαι] χαλγαει B† | εκ του] τω A